# Maximes Capitales = DL X, 139-154 - éd. Usener

**Auteur(s) : Diogène Laërce ; Epicure**

## Les folios

En passant la souris sur une vignette, le titre de l'image apparaît.

11 Fichier(s)

## Mots clés

Usener, Hermann (1834-1905)

## Comment citer cette page

Diogène Laërce ; Epicure, Maximes Capitales = DL X, 139-154 - éd. Usener, 1887

Department of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle)

Consulté le 29/08/2025 sur la plate-forme EMAN : https://eman-archives.org/Epicurei/items/show/22

## Présentation du document

Date1887
Mentions légales

- Responsabilité éditoriale : Department of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR)
- Texte : Domaine public

Editeur de la ficheDepartment of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle)
Contributeur(s)

- Giovacchini, Julie
- Marchand, Stéphane

Langue

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

- Français
- Grec ancien

SourceVoir description détaillée du texte : CIRIS

# Contenus reliés

**Collection Ep. Maximes Capitales**

Maximes Capitales - traduction anglaise *est une traduction de ce document*
Maximes Capitales = DL X, 139-154 - éd. Mühll *est une version de ce document*
Maximes Capitales = DL X, 139-154 - éd. Frobenius *est une version de ce document*
Maximes Capitales = DL X, 139-154 - éd. Hicks *est une version de ce document*

# Description du document

DescriptionReproduction de l'édition grecque de Usener (=#Us) accompagnée d'une transcription indexée et enrichie de notes critiques.

Texte grec de la transcription établi à partir de :
R. D. Hicks, Lives of Eminent Philosophers. Diogenes Laertius. Cambridge. Harvard University Press, 1972 (First published 1925) = #Hic
Miroslav Marcovich, Diogenes Laertius Vitae Philosophorum, Stuttgart, Teubner, 1999 = #Marc
Hermann Usener, Epicurea, Stuttgart, Teubner, 1887 = #Us
Tiziano Dorandi, Lives of Eminent Philosophers, Cambridge Univ ersity Press, 2013 = #Dor
Graziano Arrighetti, Epicuro. Opere, Nuova edizione riveduta e ampliata, Turin, Giulio Einaudi Editore, 1973 = #Arr

Voir description détaillée de l'édition : CIRIS
Notice créée par Julie Giovacchini Notice créée le 30/11/2021 Dernière modification le 18/05/2022

---

# ΕΠΙΚΟΥΡΟΥ
# ΚΥΡΙΑΙ ΔΟΞΑΙ

139 I Τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει οὔτε ἄλλῳ παρέχει, ὥστε οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον.

II Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ· τὸ δ' ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς.

5 τὸ τοιοῦτον. ἐν ἄλλοις δέ φησι τοὺς θεοὺς λόγῳ θεωρητούς, οὓς μὲν κατ' ἀριθμὸν ὑφεστῶτας, οὓς δὲ κατὰ ὁμοείδειαν ἐκ τῆς συνεχοῦς ἐπιρρύσεως τῶν ὁμοίων εἰδώλων ἐπὶ τὸ αὐτὸ ἀποτετελεσμένους, ἀνθρωποειδεῖς SCHOLION

1 titulum addidi ‖ 3 πρᾶγμα Seneca πρᾶγμ' scholion Iliadis, fort. Cicero ‖ 4 ἄλλο F ἄλλοις Seneca scholion Iliad. | ὥστε] διὸ scholion Iliad. | οὔτε post ὥστε om F | [ὀργ]αῖς B | χάρισι] λύπαις scholion Iliad. | συνέχεσθαι B ‖ 5 ἀσθενείᾳ Philodemus Nemesius (Cicero d. nat. deor. I 44, 122. 124), ut Epicurus ipse supra p. 28, 5 ‖ 6 διαλυθὲν FHPQf Plutarchus Gellii, Sextus Alexander Stobaeus: ἀναλυθὲν B λυθὲν Plutarchus contra Epicuream beatitudinem 23 p. 1103$^{d}$ 27 p. 1105$^{a}$ ‖ 7 δ' BFPQ: δὲ Hf | ἀναίσθητον Stobaeus ἀναισθητεῖν editur ap. Alexandrum in analyt. f. 117$^{r}$ | οὐδὲ H$^{1}$

8 θεωρητοὺς libri: θεωρητοὺς εἶναι Meibomius ‖ 9 ὁμοείδειαν HP$^{2}$Q: ὁμοειδίαν Bf ὁμοίδιαν P$^{1}$ ὁμοιοειδίαν F ‖ 10 ὁμοίων] ἰδίων F ‖ 11 ἀποτετελεσμένους Kuehnius: ἀποτετελεσμένων BHPQf τετελεσμένων F | ἀνθρωποειδ[εῖ]ς P. dixere de hoc scholio quicumque de dis Epicuri disseruere, nuper Schoemannus opusc. ac. t. IV p. 351 sqq. RVolkmann in Fleckeiseni annali 1871 p. 688 RHirzel *unters. z. Ciceros philos. schrr.* I p. 72 sqq. Woltjer de Lucretii philos. p. 165 sq. Lachelier *revue de philol.* 1877 t. I p. 264

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

III Ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις. ὅπου δ' ἂν τὸ ἡδόμενον ἐνῇ, καθ' ὃν ἂν χρόνον ᾖ, οὐκ ἔστι τὸ ἀλγοῦν ἢ τὸ λυπούμενον ἢ τὸ συναμφότερον.

IV Οὐ χρονίζει τὸ ἀλγοῦν συνεχῶς ἐν τῇ σαρκί, ἀλλὰ 140
τὸ μὲν ἄκρον τὸν ἐλάχιστον χρόνον πάρεστι, τὸ δὲ μόνον ὑπερτεῖνον τὸ ἡδόμενον κατὰ σάρκα οὐ πολλὰς ἡμέρας συμβαίνει. αἱ δὲ πολυχρόνιοι τῶν ἀρρωστιῶν πλεονάζον ἔχουσι τὸ ἡδόμενον ἐν τῇ σαρκὶ ἤ περ τὸ ἀλγοῦν.

V Οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως ⟨οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως⟩ ἄνευ τοῦ ἡδέως. ὅτῳ δ' ἓν τούτων μὴ ὑπάρχει οἷον ζῆν φρονίμως, καὶ καλῶς καὶ δικαίως ὑπάρχει, οὐκ ἔστι τοῦτον ἡδέως ζῆν.

VI Ἕνεκα τοῦ θαρρεῖν ἐξ ἀνθρώπων ἦν κατὰ φύσιν ἀγαθόν, ἐξ ὧν ἄν ποτε τοῦτο οἷός τ' ᾖ παρασκευάζεσθαι.

15 κατὰ φύσιν ἀρχῆς καὶ βασιλείας GLOSSEMA u. ἐξ ὧν

1 ἡ] ἢ $P^1$ om Macrobius | cf. Voll. Herc. coll. II t. VII f. 14 (Gompertz. *ztschr. f. d. oesterr. gymn.* 1866 p. 708) 'ἡ παν]τὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις'· τ[ὸ] μὲν γὰρ π α ν τ[ό]ς διέλκεται κατὰ τὰ ἀντί[γραφα], προστιθεμένου τοῦ π α ν τ ό ς ἐν τισίν, ἐν δὲ τισὶν μὴ προστιθεμένου· κατὰ πάντα δὲ τὰ κ[αλ]ῶς ἔχοντα ἀν[τί]γραφα [γέ]γραπται ἡ [τ]οῦ [ἀλ]γ ο ῦ ν τ ο ς ἐ ξ α ί ρ ε σ ι ς, οὐ[χ ὑ]π ε ξ α ί ρ ε σ ι ς | τοῦ λυποῦντος Nemesius || 2 ὑπεραίρεσις f | ἰδόμενον $P^1$ | ἔνι $P^1$ || 3 ἂν $FP^3f$: om $BP^1Q$ post χρόνον traicit H | ᾖ] ἢ $P^1$ | τὸ ante λυπούμενον om $BP^1Q$ || 5 οὐ om $P^1$ || 7 ὑπερτ•νον $P^1$ | τὸ ἡδόμενον .... 9 ἔχουσι om $F^1Qf$, in mg suppleuit $F^2$. de sententia cf. Maduigius ad Cic. de fin. I 12, 40 p. $85^3$ | κατὰ σάρκα] ἐν τῇ σαρκὶ mg H sed deletum || 8 ἀρρωστιῶν F || 9 εἴ περ f || 11 οὐδὲ ... δικαίως suppleuit Gassendus | ἄνευ ... 13 καλῶς om F || 12 ὅτωι $P^2$ ὅτω $P^1$ | δ' ἓν τούτων] δὲ τοῦτο libri | ὑπάρχ(ειν) Q | οἷον] οὐ libri | ζῇ libri: corr. Gassendus || 13 καὶ ὡ δικαίως Ff | ὑπα .... cum fenestra B | τοῦτο $B^1$ || 15 ἦν] ἢ libri | fort. ἀγαθά || 16 τοῦτο] τοῦτό τις Meibomius | τ' ᾖ] τ' ἦν B τι $P^1$

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

141 VII Ἔνδοξοι καὶ περίβλεπτοί τινες ἐβουλήθησαν γενέσθαι, τὴν ἐξ ἀνθρώπων ἀσφάλειαν οὕτω νομίζοντες περιποιήσεσθαι. ὥστε εἰ μὲν ἀσφαλὴς ὁ τῶν τοιούτων βίος, ἀπέλαβον τὸ τῆς φύσεως ἀγαθόν· εἰ δὲ μὴ ἀσφαλής, οὐκ ἔχουσιν οὗ ἕνεκα ἐξ ἀρχῆς κατὰ τὸ τῆς φύσεως οἰκεῖο· ὠρέχθησαν.

VIII Οὐδεμία ἡδονὴ καθ' ἑαυτὸ κακόν· ἀλλὰ τὰ τινῶν ἡδονῶν ποιητικὰ πολλαπλασίους ἐπιφέρει τὰς ὀχλήσεις τῶν ἡδονῶν.

142 IX Εἰ κατεπυκνοῦτο πᾶσα ἡδονὴ καὶ χρόνῳ καὶ περὶ ὅλον τὸ ἄθροισμα ὑπῆρχεν ἢ τὰ κυριωτατα μέρη τῆς φύσεως, οὐκ ἄν ποτε διέφερον ἀλλήλων αἱ ἡδοναί.

X Εἰ τὰ ποιητικὰ τῶν περὶ τοὺς ἀσώτους ἡδονῶν ἔλυε τοὺς φόβους τῆς διανοίας τούς τε περὶ μετεώρων καὶ θανάτου καὶ ἀλγηδόνων, ἔτι τε τὸ πέρας τῶν ἐπιθυμιῶν ἐδίδασκεν, οὐκ ἄν ποτε εἴχομεν ὅ τι ἐμεμψάμεθα αὐτοῖς, πανταχόθεν ἐκπληρουμένοις τῶν ἡδονῶν καὶ οὐθαμόθεν οὔτε τὸ ἀλγοῦν οὔτε τὸ λυπούμενον ἔχουσιν, ὅ περ ἐστὶ τὸ κακόν.

XI Εἰ μηθὲν ἡμᾶς αἱ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν

1 ἠβουλήθησαν F ‖ 5 κατὰ] παρὰ Meibomius, tu cf. Philod. Voll. Herc. coll. alt. t. I f. 78 δόξα τοίνυν χάριν ἀσφαλείας ἐδιώχθη κατὰ φύσιν ‖ 7 ἡδονὴ hoc loco om f | ἑαυτὸ BHPQ: ἑαυτὴν Ff γρ $P^3$ | κακὸν BHPQ: κακὴ Fs γρ $P^3$ ἡδονὴ κακή. f | τὰ] τὸ Q om Ff ‖ 8 ἡδονῶν post τινῶν om $B^1$ ‖ 10 κατεπυκνοῦτο πᾶσα ἡδονὴ FH $P^3$f: κατεπύκνου πᾶσα ἡδονὴ τῷ B$P^1$Q terminatione passiua male traiecta | καὶ ante χρόνῳ in fenestra om $B^1$ | περὶ ὁδὸν Ff γρ $P^3$ περίοδον BHPQ: em. Rossius commentt. Laert. p. 321 ‖ 13 τὰ ποιητὰ f, γρ mg $P^3$ | ἀσώτους] ἀσωμάτους Ff εὐσωμάτους γρ $P^3$ | ἔλυε] ἔλεγε f ‖ 14 μετεώρων] *deorum* Cicero liberius ‖ 15 ἔτι τε] ἔτι Q ‖ 16 ποτ[ε εἴχο]μεν B ποτε εἴημεν Ff π. εἴη μὲν Stephanus in Ciceroniano lexico graecolat. p. 55 | μεμψάμεθα B: μεμψαίμεθα ceteri ‖ 17 πάντοθεν Ff γρ $P^3$ | εἰσπληρουμένοις libri | οὐθαμόθεν $P^1$Q οὐθαμῶθεν B: οὐδαμόθεν FH$P^3$f ‖ 18 τὸ ante ἀλγοῦν om B ‖ 20 αἱ] αἱ ὑπὲρ Plutarchus | ἠνόχλουν F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

καὶ αἱ περὶ θανάτου, μή ποτε πρὸς ἡμᾶς ᾖ τι, ἔτι τε τὸ μὴ κατανοεῖν τοὺς ὅρους τῶν ἀλγηδόνων καὶ τῶν ἐπιθυμιῶν, οὐκ ἂν προσεδεόμεθα φυσιολογίας.

XII Οὐκ ἦν τὸ φοβούμενον λύειν ὑπὲρ τῶν κυριωτάτων 143 μὴ κατειδότα τίς ἡ τοῦ σύμπαντος φύσις, ἀλλ' ὑποπτευόμενόν τι τῶν κατὰ τοὺς μύθους. ὥστε οὐκ ἦν ἄνευ φυσιολογίας ἀκεραίους τὰς ἡδονὰς ἀπολαμβάνειν.

XIII Οὐθὲν ὄφελος ἦν τὴν κατ' ἀνθρώπους ἀσφάλειαν κατασκευάζεσθαι τῶν ἄνωθεν ὑπόπτων καθεστώτων καὶ τῶν ὑπὸ γῆς καὶ ἁπλῶς τῶν ἐν τῷ ἀπείρῳ.

XIV Τῆς ἀσφαλείας τῆς ἐξ ἀνθρώπων γενομένης μέχρι τινὸς δυνάμει τινὶ ἐξερειστικῇ καὶ εὐπορίᾳ εἰλικρινεστάτη γίνεται ἡ ἐκ τῆς ἡσυχίας καὶ ἐκχωρήσεως τῶν πολλῶν ἀσφάλεια.

XV Ὁ τῆς φύσεως πλοῦτος καὶ ὥρισται καὶ εὐποριστός 144 ἐστιν· ὁ δὲ τῶν κενῶν δοξῶν εἰς ἄπειρον ἐκπίπτει.

XVI Βραχέα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ

1 καὶ περὶ f ἔτι τε τὰ περὶ Plutarchus | ᾖ τί BHP²Q: ἤ τι F ἤ τί P¹ εἴ τι f | ἔτι] ἔστι f | τε τὸ μὴ κατανοεῖν Lachelier *revue de philol.* 1877 t. I p. 85. 200: τετόλμηκα (τετολμηκὰ B τ•τό•μηκα P¹) νοεῖν libri, atque σφά(λμα) adnotat mg B || 3 οὐκ ἂν ἐδεόμεθα F || 5 τίς ἢ τοῦ P | ὑποπτεύοντά erit qui exspectet || 6 τῶν] τὸν B | φυσιλογίας P¹ || 7 ἐκεραίους F ἀκεραίας f || 8 οὐδὲν B? | ὤφελος F ὀφαλὸς H | κατ' BFf: κατὰ HPQ | ἀσφάλιαν P || 9 καθεστότων f || 10 τῶν ἐν τῷ ἀπείρῳ] τῶν ἀπείρων τῶν ὑπὸ cum proxima sententia coniungit F || 11 γινομένης f || 12 δύναμίς H aperta interpolatione | τινὶ] τί BFPQf τε H | ἐξεριστικὴ F: ἐξερειστικὴ H ἐξεριστικὴ P²f ἐξαιριστικὴ P¹Q ἐξοριστικὴ B. conicias ἐξέρεισις ἡ | εὐπορίᾳ εἰλικρινεστάτη f || 13 ἐκχωρήσεως Hf: ἐγχωρήσεως BFPQ | πόλλων f || 14 ἀσφαλείας H. ἄδεια coniceceram || 15 [φύσεως] compendiose P² | καὶ post ὥρισται bis dat B || 16 ἔστι· F || 17 βραχέα BFP²f Vitruuius Seneca, nec aliter Cicero qui non potuit *exiguam fortunam interuenire sapienti* dicere de fin. I 19, 63 (II 27, 89) Tusc. disp. V 9, 26 sed *exiguum*: βραχεῖα HP¹Q Stobaeus | τύχη Cobetus

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

κυριώτατα ὁ λογισμὸς διῴκησε κατὰ τὸν συνεχῆ χρόνον τοῦ βίου.

XVII Ὁ δίκαιος ἀταρακτότατος, ὁ δ' ἄδικος πλείστης ταραχῆς γέμων.

XVIII Οὐκ ἐπαύξεται ἐν τῇ σαρκὶ ἡ ἡδονή, ἐπειδὰν ἅπαξ τὸ κατ' ἔνδειαν ἀλγοῦν ἐξαιρεθῇ, ἀλλὰ μόνον ποικίλλεται· τῆς δὲ διανοίας τὸ πέρας τὸ κατὰ τὴν ἡδονὴν ἀπεγέννησεν ἥ τε τούτων αὐτῶν ἐκλόγισις καὶ τῶν ὁμογενῶν τούτοις, ὅσα τοὺς μεγίστους φόβους παρεσκεύαζε τῇ διανοίᾳ

145 XIX Ὁ ἄπειρος χρόνος ἴσην ἔχει τὴν ἡδονὴν καὶ ὁ πεπερασμένος, ἐάν τις αὐτῆς τὰ πέρατα καταμετρήσῃ τῷ λογισμῷ.

XX Ἡ μὲν σὰρξ ἀπέλαβε τὰ πέρατα τῆς ἡδονῆς ἄπειρα, καὶ ἄπειρος αὐτὴν χρόνος ἀρέσκοι ἄν. ἡ δὲ διάνοια τοῦ τῆς σαρκὸς τέλους καὶ πέρατος λαβοῦσα τὸν ἐπιλογισμὸν καὶ τοὺς ὑπὲρ τοῦ αἰῶνος φόβους ἐκλύσασα τὸν παντελῆ βίον παρεσκεύασεν, καὶ οὐθὲν ἔτι τοῦ ἀπείρου χρόνου προσεδεήθη· ⟨οὐ⟩ μὴν ἀλλ' οὔτε ἔφυγε τὴν ἡδονὴν οὔθ' ἡνίκα τὴν ἐξαγωγὴν ἐκ τοῦ ζῆν τὰ πράγματα παρεσκεύαζεν, ὡς ἐλλείπουσά τι τοῦ ἀρίστου βίου κατέστρεφεν.

2 βίου διοικεῖ καὶ διοικήσει GLOSSEMA u. 1 διῴκησε

1 διῴκηκε Stobaeus διῴκηκε καὶ libri διῴκει καὶ f | κατὰ τὸν συνεχῆ χρόνον τοῦ βίου BHPQ κατὰ τὸν συνεχῆ χρόνον Ff κατὰ τὸν βίον καὶ συνεχῆ χρόνον Stobaeus: omittunt Cicero et Vitruuius, adulterina censet Meinekius adn. crit. ad Stob. ecl. p. CXCVIII || 3 ὁ δίκαιος βίος Diodorus | ἀταρακτώτατος BF || 5 ἐν τῇ σαρκί post ἡ ἡδονή dat f | τῇ om F || 7 τὸ πέρας κατὰ F || 8 ἐκλόγισις BPQ: ἐκλόγ|η|σις H ἐκλόγησις Ff || 10 Ὁ om BP¹Q || 11 καταμετρήσει F || 14 ἀρέσκοι ἄν] παρεσκεύασεν libri || 16 παντελεῖ F || 17 παρεσκεύασεν BH, sine ν̄ ceteri | ἀπείρου χρόνο[υ] B ἀπόρου χρόνου PQ mg H, in quo tamen ἀπείρου diuersa manu adscribitur: ἀπείρου βίου FHf γρ P² || 18 προσεδεήθη· οὐ μὴν] προσεδεήθημεν F, Hf γρ P² [προσεδέθη] μὲν B προσεδέθημεν PQ | οὐθ' F¹H: οὐδ' F²PQf οὐδὲ B || 20 ἐλλίπουσα BQ | ἀαρίστου f

21 glossema non norunt Cicero Vitruuius Stobaeus

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

XXI Ὁ τὰ πέρατα τοῦ βίου κατειδὼς οἶδεν, ὡς εὐπόριστόν ἐστι τὸ ⟨τὸ⟩ ἀλγοῦν κατ' ἔνδειαν ἐξαιροῦν καὶ τὸ τὸν ὅλον βίον παντελῆ καθιστάν· ὥστε οὐδὲν προσδεῖται πραγμάτων ἀγῶνας κεκτημένων. 146

XXII Τὸ ὑφεστηκὸς δεῖ τέλος ἐπιλογίζεσθαι καὶ πᾶσαν τὴν ἐνάργειαν, ἐφ' ἣν τὰ δοξαζόμενα ἀνάγομεν· εἰ δὲ μή, πάντα ἀκρισίας καὶ ταραχῆς ἔσται μεστά.

XXIII Εἰ μάχῃ πάσαις ταῖς αἰσθήσεσιν, οὐχ ἕξεις οὐδ' ἃς ἂν φῇς αὐτῶν διεψεῦσθαι πρὸς τί ποιούμενος τὴν ἀναγωγὴν κρίνῃς.

XXIV Εἴ τιν' ἐκβαλεῖς ἁπλῶς αἴσθησιν καὶ μὴ διαιρήσεις 147
τὸ δοξαζόμενον καὶ τὸ προσμένον καὶ τὸ παρὸν ἤδη κατὰ τὴν αἴσθησιν καὶ τὰ πάθη καὶ πᾶσαν φανταστικὴν ἐπιβολὴν τῆς διανοίας, συνταράξεις καὶ τὰς λοιπὰς αἰσθήσεις τῇ ματαίῳ δόξῃ, ὥστε τὸ κριτήριον ἅπαν ἐκβαλεῖς. εἰ δὲ βεβαιώσεις καὶ τὸ προσμένον ἅπαν ἐν ταῖς δοξαστικαῖς ἐννοίαις καὶ τὸ μὴ τὴν ἐπιμαρτύρησιν, οὐκ ἐκλείψει τὸ

1 ὁ τά] ἐν ᾗ τὰ H | ἀπόριστόν f ‖ 2 [ἐστί] compendiose $P^{2}$ | ἐστι τὸ ἀλγοῦν libri: corr. Casaubonus ‖ 3 καθιστᾶν BFHP ‖ 5 ὑφεστικός B | δεῖ] δέ f | τέλος delebat Schneiderus ad Epic. p. 54, tu cf. p. 65, 3. 77, 4 | ἐπιλογίζεσθαι] λογίζεσθαι F ‖ 6 ἐνέργειαν Q, sscr $H^{2}$ ‖ 8 εἰ] εἰ μή $F^{1}$ ‖ 9 ἂν om $B^{2}$ | φῇς (φῆς Q) αὐτῶν BHPQ: αὐτῶν εφ' ἧς (ε puncto inposito deletum) $F^{1}$ αὐτῶν φῆς $F^{2}$f | διεψεῦσθαι F | πρός τι BHPQ ‖ 10 κρίνεις BF ‖ 11 τιν' HPQ: τινα BFf | ἐκβάλλεις libri nisi quod ἐκβάλεις $H^{1}$ ἐκβάλλῃς f: em. Cobetus | καὶ μὴ . . . 13 αἴσθησιν om Q | διαιρήσεις HP διαιρήσης B: διαιρεῖς εἰς F διαιρῇς εἰς f ‖ 12 τὸ δαζόμενον F | καὶ Ff: κατὰ BHPs | προσμένον Ff: προσμενόμενον BHP ‖ 13 post πᾶσαν erasas aliquot litteras uideas in P ‖ 14 τῆς om H | [συνταρ]άξεις $P^{2}$ ‖ 15 ματαίῳ HPQ ματαίων B: ματαία F, f | ὥστε] ὡς Q | ἐκβαλεῖς f: ἐκβάλλεις libri ‖ 16 βεβεώσεις B | προσμένον Ff: προσμενόμενον BHPQs ‖ 17 τὴν ἐπιμαρτύρησιν recte explanatum a Schneidero p. 52 delebat Huebnerus | ἐκλείψεις libri: em. Bonnetus De Galeni subfig. empir. p. 82

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

διεψευσμένον· ὥστ' ἀνῃρηκὼς ἔσῃ πᾶσαν ἀμφισβήτησιν καὶ πᾶσαν κρίσιν τοῦ ὀρθῶς ἢ μὴ ὀρθῶς.

148 XXV Εἰ μὴ παρὰ πάντα καιρὸν ἐπανοίσεις ἕκαστον τῶν πραττομένων ἐπὶ τὸ τέλος τῆς φύσεως, ἀλλὰ προκαταστρέψεις εἴ τε φυγὴν εἴ τε δίωξιν ποιούμενος εἰς ἄλλο τι, οὐκ ἔσονταί σοι τοῖς λόγοις αἱ πράξεις ἀκόλουθοι.

XXVI Τῶν ἐπιθυμιῶν ὅσαι μὴ ἐπ' ἀλγοῦν ἐπανάγουσιν ἐὰν μὴ συμπληρωθῶσιν, οὐκ εἰσὶν ἀναγκαῖαι ἀλλ' εὐδιάχυτον τὴν ὄρεξιν ἔχουσιν, ὅταν δυσπόριστον ἢ ⟨ἡ⟩ βλάβης ἀπεργαστικαὶ δόξωσιν εἶναι.

XXVII Ὧν ἡ σοφία παρασκευάζεται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις.

XXVIII Ἡ αὐτὴ γνώμη θαρρεῖν τε ἐποίησεν ὑπὲρ τοῦ μηθὲν αἰώνιον εἶναι δεινὸν μηδὲ πολυχρόνιον, καὶ τὴν ἐν αὐτοῖς τοῖς ὡρισμένοις ἀσφάλειαν φιλίαις μάλιστα κατεῖδε συντελουμένην.

149 XXIX Τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ ⟨καὶ ἀναγκαῖαι·

1 ὥστ' ἀνῃρηκὼς] ὡς τετηρηκὼς libri | ἔσῃ πᾶσαν] εἰς ἅπασαν f | ἔσ[η] B ‖ 2 κρίσιν] ῥῆσιν f ‖ 3 εἰ] ἢ H | παραπάντα B | περὶ H | πάν[τα] $P^3$ ‖ 5 ἦτε δίωξιν B ‖ 7 sententiam XXVI Gassendus post s. XXX, Meibomius post s. XXIX conlocauerat | ἐπαλγοῦν BP ‖ 8 ἀδιάχυτον HQ ἐνδιαδόχητον f ‖ 9 δυσπόριστοι Ff, οι terminationem sscr $P^2$ | ἢ ἡ] ἢ B ἡ ceteri ‖ 10 ἀπέργαστοι δόξωσιν f ‖ 11 sent. XXVII et sequentem ante s. XXXI Gassendus posuit | ὧν] *omnium rerum quas* Cicero: an ὅσων legebat? ‖ 14 τε omissum sscr $H^1$ τί F | ἐποίησε BP ‖ 15 καὶ τὴν ... 17 συντελουμένην sententiae XXVII Meibomius subiunxit contra Ciceronis testimonium ‖ 16 φιλίας libri | κατεῖδε Maduigius ad Cic. de fin. I 20, 68: *perspexit* Cicero κατεῖναι libri, sed κα[τεῖναι] B ‖ 17 [συν]τελουμένην B ‖ 18 φυσι•καὶ F | καὶ ... p. 78, 1 φυσικαὶ om libri, suppleuit HStephanus in Ciceron. lexico graecolat. p. 53 ex Cicerone. interpolatam dat G lectionem Τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ καὶ οὐκ ἀναγκαῖαι· αἵ τε (uoluit αἱ δέ) φυσικαὶ καὶ ἀναγκαῖαι

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

αἱ δὲ φυσικαὶ〉 καὶ οὐκ ἀναγκαῖαι· αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι ἀλλὰ παρὰ κενὴν δόξαν γινόμεναι.

XXX Ἐν αἷς τῶν φυσικῶν ἐπιθυμιῶν, μὴ ἐπ' ἀλγοῦν δὲ ἐπαναγουσῶν ἐὰν μὴ συντελεσθῶσιν, ὑπάρχει ἡ σπουδὴ σύντονος, παρὰ κενὴν δόξαν αὗται γίνονται, καὶ οὐ παρὰ τὴν ἑαυτῶν φύσιν οὐ διαχέονται ἀλλὰ παρὰ τὴν τοῦ ἀνθρώπου κενοδοξίαν.

XXXI Τὸ τῆς φύσεως δίκαιόν ἐστι σύμβολον τοῦ συμ- 150
φέροντος εἰς τὸ μὴ βλάπτειν ἀλλήλους μηδὲ βλάπτεσθαι.

XXXII Ὅσα τῶν ζῴων μὴ ἐδύνατο συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν ἄλλα μηδὲ βλάπτεσθαι, πρὸς ταῦτα οὐθὲν ἦν δίκαιον οὐδὲ ἄδικον· ὡσαύτως δὲ καὶ τῶν ἐθνῶν ὅσα μὴ ἐδύνατο ἢ μὴ ἐβούλετο τὰς συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι.

XXXIII Οὐκ ἦν τι καθ' ἑαυτὸ δικαιοσύνη, ἀλλ' ἐν ταῖς μετ' ἀλλήλων συστροφαῖς καθ' ὁπηλίκους δή ποτε ἀεὶ τόπους συνθήκη τις ὑπὲρ τοῦ μὴ βλάπτειν ἢ βλάπτεσθαι.

---

2 γινόμεναι. φυσικὰς καὶ ἀναγκαίας ἡγεῖται ὁ Ἐπίκουρος τὰς ἀλγηδόνος ἀπολυούσας, ὡς ποτὸν ἐπὶ δίψους· φυσικὰς δὲ οὐκ ἀναγκαίας δὲ τὰς ποικιλλούσας μόνον τὴν ἡδονήν, μὴ ὑπεξαιρουμένας δὲ τὸ ἄλγημα, ὡς πολυτελῆ σιτία· οὔτε δὲ φυσικὰς οὔτ' ἀναγκαίας, ὡς στεφάνους καὶ ἀνδριάντων ἀναθέσεις SCHOLION

2 οὔτε ante ἀναγκ. om $P^1Q$ | παρὰ] περὶ H | γ[ι]νόμεναι $P^2$ γενόμεναι scholion Aristotelis ἡγούμεναι F || 3 fort. φυσικῶν μὲν ἐπιθ. | ἐπαλγοῦν FH || 4 ὑπάρχῃ B || 5 παρὰ] περὶ H utrubique et u. 6 | ου puncto inposito delere uidetur F || 6 ἑαυτῶν] nouissimae syllabae οῦ sscr $H^2$ ἑαυτον $P^1$ | διαχέονται] διαδεχέονται (in mg correctum) H διά χρεῖαν τινά f || 10 ἠδύνατο Fs ἠδύναντο f || 11 ἄλλα] ἀλλὰ $BFQH^2f$ ἀλλ' ἂν $H^1$ ἀλλὰ· P ἄλληλα Gassendus | μηδὲ om $F^1$ || 12 ἦν] ἢ BHPQ: οὐδὲ sscr $P^2$ ἔστιν οὐδὲ Ff || 13 ἠδύνατο Ff | ἢ μὴ] ἢ Ff || 15 [οὐ] ἦν B || 16 μετὰ B | καθὸ πηλίκους BF | ἀεὶ F || 17 τὶς libri sed τῆς H | ἢ] μηδὲ Huebnerus
19 ἀλγηδόνας libri: corr. HWeilius | ποτῶν f | δὲ οὐκ $F^1$ δὲ καὶ οὐκ $F^2f$ || 20 δὲ om Ff | μόνην Ff || 21 ἄλγησμα f | σιτεῖα f οὔτ' HPQ: οὔτε BFf || 22 ὡς στεφάνους] ὥς τε φασὶ H

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

151 XXXIV Ἡ ἀδικία οὐ καθ' ἑαυτὴν κακόν, ἀλλ' ἐν τῷ κατὰ τὴν ὑποψίαν φόβῳ, εἰ μὴ λήσει τοὺς ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολαστάς.

XXXV Οὐκ ἔστι τὸν λάθρα τι κινοῦντα ὧν συνέθεντο πρὸς ἀλλήλους εἰς τὸ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι, πιστεύειν ὅτι λήσει, κἂν μυριάκις ἐπὶ τοῦ παρόντος λανθάνῃ. μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ καὶ λήσει.

XXXVI Κατὰ μὲν ⟨τὸ⟩ κοινὸν πᾶσι τὸ δίκαιον τὸ αὐτό, συμφέρον γάρ τι ἦν ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ· κατὰ δὲ τὸ ἴδιον χώρας καὶ ὅσων δή ποτε αἰτίων οὐ πᾶσι συνέπεται τὸ αὐτὸ δίκαιον εἶναι.

152 XXXVII Τὸ μὲν ἐπιμαρτυρούμενον ὅτι συμφέρει ἐν ταῖς χρείαις τῆς πρὸς ἀλλήλους κοινωνίας, ἔχει τὸν τοῦ δικαίου χαρακτῆρα, ἐάν τε τὸ αὐτὸ πᾶσι γένηται ἐάν τε μὴ τὸ αὐτό. ἐὰν δὲ νόμον θῆταί τις, μὴ ἀποβαίνῃ δὲ κατὰ τὸ συμφέρον τῆς πρὸς ἀλλήλους κοινωνίας, οὐκέτι τοῦτο τὴν τοῦ

---

13 κοινωνίας, τῶν νομισθέντων εἶναι δικαίων ADDITAMENTVM capiti sententiae destinatum

2 μὴ δήσει B μελήσει f | τούς] τάς F om f ‖ 4 κινοῦντα] ποιοῦντα libri | συνέθοντο PQ ‖ 5 μηδὲ BHPQ: καὶ Ff γρ P² ‖ 6 ὅτι λήσει] ὁ cum hiatu in quo m. 2 ήσει addidit B | ἐπὶ Menagius: ἀπὸ BQ γρ P² ὑπὸ FPf [ὑ]πὸ H | τοῦ παρόντος uocibus spatium VI fere litterarum reliquit uacuum F | λαμθάνει H ‖ 7 εἰ καὶ] εἶναι F ‖ 8 μὲν κοινόν libri: articulum restituit Gassendus ‖ 10 [δὴ] π[οτε] B | αἰτίων B: αἰτιῶν reliqui ‖ 13 ἔχει . . . 14 χαρακτῆρα om f τὸν . . χαρ. om s | ἔχει τὸν τοῦ HPQ: ἔχει τὸ τοῦ F ἔχειν τοῦ B ‖ 14 χαρακτῆρα] χώραν εἶναι BF idque effecit addito in mg χώραν P²: εἶναι HP¹Q χῶραν Aldobrandinus | ἐάν τε τὸ αὐτὸ πᾶσι γένηται ἐάν τε μὴ τὸ αὐτὸ πᾶσι γένηται· ἐάν τε μὴ (μὴν PQ) τὸ αὐτὸ uno archetypi uersu oscitanter iterato BHPQ ἐάν τε αὐτὸ πᾶσι μὴ γένοιται· F ἐάν τε τὸ αὐτὸ πᾶσι γένηται ἐάν τε τὸ αὐτὸ πᾶσι μὴ γένηται f ‖ 15 ἐὰν δὲ om s ἐάν τε posteriora Stephani exempla | μόνον θῆταί τις libri νομοτεθῆται τί f | ἀποβαίνῃ Hf: ἀποβαίνει reliqui | δέ] δὴ BQ

17 δίκαιον Bs om f. δικαίων ⟨ὄν, τοῦτο⟩ Meibomius structuram uerborum fulciens

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

δικαίου φύσιν ἔχει. κἂν μεταπίπτῃ τὸ κατὰ τὸ δίκαιον συμφέρον, χρόνον δέ τινα εἰς τὴν πρόληψιν ἐναρμόττῃ, οὐδὲν ἧττον ἐκεῖνον τὸν χρόνον ἦν δίκαιον τοῖς μὴ φωναῖς κεναῖς ἑαυτοὺς συνταράττουσιν ἀλλ' εἰς τὰ πράγματα βλέπουσιν.

XXXVIII Ἔνθα μὴ καινῶν γενομένων τῶν περιεστώτων 153
πραγμάτων ἀνεφάνη μὴ ἐναρμόττοντα εἰς τὴν πρόληψιν τὰ νομισθέντα δίκαια ἐπ' αὐτῶν τῶν ἔργων, οὐκ ἦν ταῦτα δίκαια. ἔνθα δὲ καινῶν γενομένων τῶν πραγμάτων οὐκ ἔτι συνέφερε τὰ αὐτὰ δίκαια κείμενα, ἐνταῦθα δὲ τότε μὲν ἦν δίκαι', ὅτε συνέφερεν εἰς τὴν πρὸς ἀλλήλους κοινωνίαν τῶν συμπολιτευομένων· ὕστερον δ' οὐκ ἦν ἔτι δίκαια, ὅτε μὴ συνέφερεν.

XXXIX Ὁ τὸ μὴ θαρροῦν ἀπὸ τῶν ἔξωθεν ἄριστα συστη- 154
σάμενος οὗτος τὰ μὲν δυνατὰ ὁμόφυλα κατεσκευάσατο· τὰ δὲ μὴ δυνατὰ οὐκ ἀλλόφυλά γε· ὅσα δὲ μηδὲ τοῦτο

1 [μετα]πίπτη P² μεταπί cum πτ sscr. ut μεταπίπτει interpreteris F ‖ 2 ἐναρμόττῃ Ff: ἐναρμόττει ceteri libri ‖ 3 ἐκείνων τῶν χρόνων f τὸν χρόνον ἐκεῖνον B ‖ 4 κ[εν]αῖς F κ•ναῖς P¹ ἐκείναις Q | ἀλλ' εἰς τά] ἀλλὰ πλεῖστα libri ‖ 6 κενῶν libri κοινῶν f: corr. Gassendus ‖ 7 ἀνεφάνη .... 9 πραγμάτων om Ff, contra totum locum qui est inde a u. 6 κενῶν γενομένων usque ad 9 ἔνθα δὲ neglegenter iterant Hs | μὴ] μοι B | ἁρμόττοντα libri ‖ 8 τὰ νομισθέντα HPQs: ἀνομισθέντα B ἃ νομισθέντα Aldobrandinus ‖ 9 κενῶν HPQs καὶ τῶν B Aldobr.: corr. Gassendus | τῶν om B ‖ 10 δὲ BHPQ: δὴ Ff ‖ 11 δίκαι' ὅτε] δίκ(αι)ό τε ἃ (ό supra compendium και syllabae positum) B: δίκαια ὅτε reliqui ‖ 12 συνπολιτευομένων B πολιτευομένων Ff | δὲ Ff ‖ 14 τὸ μὴ libri: τὸ f | μὴ θαροῦν P¹ μηθαραῦν H | συστησάμενος uereor ut dici potuerit pro eo quod est συστειλάμενος. sed fieri potest ut quod uerbis τὸ μὲν θαρροῦν .... συστησάμενος oppositum esset membrum interciderit, quam coniecturam et aduerbium ἄριστα suadet et pronomen οὗτος ‖ 15 οὗτος om B solus ‖ 16 τὰ δὲ μὴ ... p. 81, 1 ἀνεπίμικτος in hiatu per uersum et trientem patente om B, τὰ δὲ μὴ δυνατὰ et ἐπίμικτος suppleuit m. 2 | οὐκ ... p. 81, 1 δυνατὸς ἦν om Aldobrandinus | ὅσα δὲ] ὅσα γε HPQ ὅσα Ff | μὴ δὲ FHPQ: exspectes μηδ' αὐτὸ

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf

δυνατὸς ἦν, ἀνεπίμικτος ἐγένετο, καὶ ἐξηρέσατο ὅσα τούτων λυσιτελῆ πράττειν.

XL. Ὅσοι τὴν δύναμιν ἔσχον τοῦ τὸ θαρρεῖν μάλιστα ἐκ τῶν ὁμορούντων παρασκευάσασθαι, οὕτω καὶ ἐβίωσαν μετ' ἀλλήλων ἥδιστα τὸ βεβαιότατον πίστωμα ἔχοντες, καὶ πληρεστάτην οἰκειότητα ἀπολαβόντες οὐκ ὠδύραντο ὡς πρὸς ἔλεον τὴν τοῦ τελευτήσαντος προκαταστροφήν.

1 ἀναπίμικτος H | ἐξηρίσατο BFPQf: ἐξορίσατο H ἐξωρίσατο s | τούτων Aldobrandinus: τούτω B τοῦτο s τοῦτ' HPQ τοῦ Ff ‖ 2 λυσιτελῆ Ff: ἐλυσιτέλει HPQs λυσιτελὲς litteris ιι primoribus certis, ceteris euanidis eis quidem sed quae dispici possint B λυσιτελεῖ Aldobrandinus ‖ 3 ὅσ[οι ηνδύνα]μιν ἔ[σχ]ον $P^2$ in quo inde a p. 80, 12 ὕστερον ut in extrema pagina litterae non paucae euanuerunt | ὅσαις Q | τοῦ τὸ Meibomius: τοῦ τὲ B τοῦ τε HPQs τοῦ Ff τὸ Gassendus ‖ 4 ὁμορρούντων $BH^3$ | παρασκευάσασθαι FQf γρ $P^2$: παρασκευάσθαι P παρασκευᾶσθαι B παρεσκευάσθαι H | οὕτω] οὗτοι Ff ‖ 5 ἥδιστα τὸ] ἥδιστον τὸν B ἥδιστον • P ἥδιστον καὶ Q ἥδιστον FHf ‖ 6 πληρέστατον F | ἀπολάυοντες F | ὠδύροντο f ‖ 7 πρὸς ἔλεον B πρὸς σὲ (σε H) δέον HPQ: ἔλεον $F^2$f γρ $P^2$ ἔλαιον $F^1$ | τοῦλευτήσαντος $F^1$ | καταστροφὴν F.

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/22?context=pdf